eul_wid: pzk-ab

*Σεκοῦνδος ὁ Σιωπηλός* · Secundus the Silent

# Sentences

*Γνῶμαι*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πεζός* Prose
**Affiliation:** Cynic

1 (t) Τί ἐστι κόσμος; Ἀκατάληπτος περιοχή, θεωρητικὸν κατασκεύασμα, ἀσύνοπτον ὕψωμα, αὐτογέννητον θεώρημα, πολυχάρακτον μόρφωμα, αἰώνιον διακράτημα, αἰθὴρ θρεπτικός, ἀπλανὲς κύκλευμα, ἡλίου φῶς, ἡμέρα, ἄστρα, σκότος, νύξ, γῆ, ἀήρ, ὕδωρ. Τί ἐστιν ὠκεανός; Κόσμου ἐναγκάλισμα, ἐστεφανωμένον ὅριον, περίαμμα ἁλμυραῖον, δεσμὸς Ἀτλαντικός, πάσης φύσεως περίδρομος, ἡλιακὸς λαμπτήρ, οἰκουμένης κάτοχος. [1]

3 (t) Τί θεός; Ἰδιόπλαστον ἀγαθόν, πολύμορφον εἴκασμα, ἀσύνοπτον ὕψωμα, πολυχάρακτον μόρφωμα, δυσνοούμενον ζήτημα, ἀθάνατος νοῦς, πολυδιοίκητον πνεῦμα, ἀκοίμητος ὀφθαλμός, πολυώνυμος δύναμις, παγκρατὲς φῶς. Τί ἡμέρα; Στάδιον κακοπαθείας, δωδεκάωρος διαδρομή, ἀρχὴ καθημερινή, ὑπόμνησις βιωτική, δειλινὴ ἀπότασις, ζωτικὴ ἔντευξις, αἰώνιον ἀρίθμημα, φυσικὸν ἐσόπτρισμα, παλίνδρομος ἀνάμνησις. [1]

5 (t) Τί ἥλιος; Οὐράνιος ὀφθαλμός, νυκτὸς ἀνταγωνιστής, αἰθέριον κύκλωμα, κοσμικὸς ἔλεγχος, ἀκήρατος φλόξ, ἀδιάστατον φέγγος, κεχορηγημένη λαμπάς, οὐράνιος ὁδοιπόρος, ἡμέρας κόσμιον. Τί σελήνη; Οὐρανοῦ πορφύρα, νυκτερινὴ παραμυθία, πλεόντων παννύχισμα, ὁδευόντων παρηγορία, ἡλίου διαδοχή, κακούργων ἔχθρα, σημεῖον ἑορτῶν, μηνῶν ἀνακύκλευμα. [1]

7 (t) Τί γῆ; Οὐράνιος βάσις, κόσμου μεσότης, ἀπύθμευτον θεώρημα, ἀεροφυὲς ῥίζωμα, [ἀκατάληπτος περιοχή], γυμνάσιον ζωῆς, σύστημα θεόκτιστον, σελήνης παννύχισμα, ἀσύνοπτον θεώρημα, ὄμβρων τιθήνη, καρπῶν φύλαγμα καὶ μήτηρ, Ἅιδου καλυπτήρ, πολυδιοίκητον χώρημα, γέννα καὶ ἀποδοχὴ πάντων. Τί ἄνθρωπος; Νοῦς σεσαρκωμένος, πνευματικὸν ἀγγεῖον, αἰσθητικὸν χώρημα, ἐπίπονος ψυχή, οἰκητήριον ὀλιγοχρόνιον, φάντασμα χρόνου, ὠστεωμένον ὄργανον, κατάσκοπος βίου, Τύχης παίγνιον, ἀπαράμονον ἀγαθόν, ζωῆς δαπάνημα, φυγὰς βίου, φωτὸς ἀποστάτης, γῆς ἀπαίτημα, αἰώνιος νεκρός. [5]

9 (t) Τί ἐστι κάλλος; Φυσικὴ ζωγραφία, ἰδιόπλαστον ἀγαθόν, ὀλιγοχρόνιον εὐτύχημα, ἀπαράμονον κτῆμα, ἀνδρὸς εὐσεβοῦς ναυάγιον, σεσαρκωμένη ἐπιτυχία, ἡδονῶν ὑπηρεσία, ἄνθος μαραινόμενον, ἀσύνθετος πραγματεία, ἀνθρώπων ἐπιθυμία. Τί ἐστι γυνή; Ἀνδρὸς ἐπιθυμία, συνεστιώμενον θηρίον, συνεγειρομένη μέριμνα, συμπλεκομένη ἀσέλγεια, συγκοιμωμένη λέαινα, ἱματισμένη ἔχιδνα, αὐθαίρετος μάχη, συγκοιμωμένη ἀκρασία, καθημερινὴ ζημία, οἰκίας χειμών, ἀμεριμνίας ἐμπόδιον, ἀνδρὸς ἀκρατοῦς ναυάγιον, μοιχῶν κατασκευή, βίου

ἅλωσις, πολυτελὴς πόλεμος, ζῷον πονηρόν, ἱκανὸν φορτίον, ἐννεαπνεύμων ζάλη, ἰοβόλος ἀσπίς, ἀνθρωποποιὸν ὑπούργημα, ἀναγκαῖον κακόν. [5]

11 (t) Τί φίλος; Ζητούμενον ὄνομα, ἄνθρωπος ἀφανής, δυσεύρετον κτῆμα, ἀπορίας παραμύθιον, καταφυγὴ δυστυχίας, ἀγκὼν ταλαιπορίας, κατάσκοπος βίου, ἄνθρωπος ἀκατάληπτος, ἐνυπόστατον κειμήλιον, ἀκατάληπτος εὐτυχία. Τί γεωργός; Καρπῶν ὑπηρέτης, ὄμβρων διαιτητής, ἐρημίας συνήθης, ἀθάλασσος ἔμπορος, ὕλης ἀνταγωνιστής, τροφῆς ὑπουργός, πεδίων ἀριστευτής, γῆς ἰατρός, δένδρων φυτουργός, ὀρέων παιδαγωγός, κακοπαθίας συνήθεια. [1]

13 (t) Τί ἐστι μονομάχος; Θάνατος πωλούμενος, ἀγωνοθέτου θῦμα, [γαστριμαργίας ἐπιθυμία], διδασκαλουμένη μοῖρα, ἔναιμος τέχνη, Τύχης παράπτωμα, ὀξὺς θάνατος, περισαλπιζομένη μοῖρα, παραμένων μόρος, κακὴ νίκη. Τί ἐστι πλοῖον; Ἐπίσαλος πρᾶξις, ἀθεμελίωτος οἰκία, ἡρμοσμένος τάφος, κυβικὴ σανίς, ἀνέμων ὁδοιπορία, ἀνιπταμένη φυλακή, συνδεδεμένη μοῖρα, ἀνέμων παίγνιον, ἐπιπλέων μόρος, ὄρνεον ξύλινον, πελάγιος ἵππος, ἠνεωγμένη γαλεάγρα, ἄδηλος σωτηρία, προσδοκώμενος θάνατος, ἐγκύματος ὁδοιπόρος. [5]

15 (t) Τί ἐστι ναύτης; Κυμάτων ὁδοιπόρος, θαλάσσιος βερεδάριος, ἀνέμων ἰχνευτής, ἀνέμων συνοδευτής, οἰκουμένης ξένος, γῆς ἀποστάτης, χειμῶνος ἀνταγωνιστής, διαπόντιος μονομάχος, ἄδηλος ἐπὶ σωτηρίᾳ, θανάτου γείτων, θαλάσσης ἐραστής. Τί ἐστι πλοῦτος; Χρυσοῦν φορτίον, ἡδονῶν ὑπηρέτης, φόβος ἐλπιζόμενος, ἀπόλαυσις ἄνευ φροντίδος, συνεστιώμενος φθόνος, καθημερινὴ μελέτη, εὐμετάπτωτον πρᾶγμα, φιλούμενον ἀτύχημα, ἐπιβουλευόμενον πρᾶγμα, ἀπλήρωτος ἐπιθυμία, πολυπόθητον ταλαιπώρημα, ὑψηλὸν πτῶμα, ἀργυρικὸν σύνθεμα, παρερχόμενον εὐτύχημα. [5]

17 (t) Τί ἐστι πενία; Μισούμενον ἀγαθόν, ὑγείας μήτηρ, ἡδονῶν ἐμποδισμός, ἀμέριμνος διατριβή, δυσαπόσπαστον κτῆμα, ἐπινοιῶν διδάσκαλος, σοφίας εὑρετής, ἄφθονος πραγματεία, ἀσκόπευτος οὐσία, ἀζημίωτος ἐμπορία, ἀψήφιστον κέρδος, ἀσυκοφάντητον κτῆμα, ἄδηλος εὐτυχία, ἀμέριμνος εὐτυχία. Τί ἐστι γῆρας; Εὔκτητον κακόν, ζῶν θάνατος, ὑγιαίνουσα νόσος, προσδοκωμένη μοῖρα, πολυχρόνιον γέλασμα, ἄτονος φρόνησις, ἔμπνους νεκρός, Ἀφροδίτης ἀλλότριος, θάνατος προσδοκώμενος, νεκρὸς κινούμενος. [1]

19 (t) Τί ὕπνος; Καμάτων ἀνάπαυσις, ἰατρῶν κατόρθωμα, δεδεμένων λύσις, ἀγρυπνούντων σοφία, νοσούντων εὐχή, θανάτου εἰκών, ταλαιπωρούντων ἐπιθυμία, πάσης πνοῆς ἡσυχία, πλουσίων ἐπιτήδευμα, [πενήτων ἀδολεσχία], καθημερινὴ μελέτη. Τί ἐστι θάνατος; Αἰώνιος ὕπνος, ἀνάλυσις σώματος, ταλαιπωρούντων ἐπιθυμία, πνεύματος ἀπόστασις, πλουσίων φόβος, πενήτων ἐπιθυμία, λύσις μελῶν, φυγὴ καὶ ἀπόκτησις βίου, ὕπνου πατήρ, ἀληθινὴ προθεσμία, ἀπόλυσις πάντων. [1]

20 (t) ” Τότε Ἀδριανὸς ἀναγνούς, καὶ μαθὼν τὴν αἰτίαν δι’ ἣν σιωπὴν ἐφιλοσόφησεν, ἐκέλευσεν αὐτοῦ τὰς βίβλους ἐν τῇ ἱερατικῇ βιβλιοθήκῃ ἐντεθῆναι Σεκούνδου τοῦ φιλοσόφου: — Τῷ δακτύλοις γράψαντι, τῷ κεκτημένῳ, τῷ ἀναγινώσκοντι μετ’ εὐλαβίας, φύλαττε τοὺς τρεῖς ἡ Τριὰς τρισόλβιος. [10]

Eulogikon public reading copy · View original HTML at eulogikon.org